4 χρυσέ]αν δόξαν πολύφαντον ἐν αἰ-
ὦνι] τ̣ˈρέφει παύροις βροτῶν
6 α]ἰ̣εί, καὶ ὅταν θανάτοιο
κυ̃άνεον νέφος καλύψηι, λείπεται
8 ἀθάνατον κλέος εὖ ἐρ-
χθέντο̣ς ἀσφαλεῖ σὺν αἴσᾶι.

Γʹ
1 τῶν κα[ὶ σ]ὺ τυχὼν Νεμέᾶι,
Λάμπωνος υἱέ,
3 πανθαλέ̣ων στεφάνοισιν
ἀνθ]έ̣[ων] χαίταν [ἐρ]εφθείς
. . . . . .]π̣όλιν ὑψιάγυιαν
6 . . . . . . . τε]ρψιμ̣[β]ρότων
.[. . . . . . . . .] ἁβ̣[ροπν]όων
κώμ̣[ων] π̣ατρ[ώια]ν
9 νᾶσο[ν], ὑπέρβι[ον] ἰσχύν
παμμαχίαν ἄνα φαίνων.
11 ὦ ποταμοῦ θύγατερ
δινᾶντος Αἴγιν᾽ ἠπιόφˈρον,
col 31 (25) 1 ἦ τοι μεγάλα̣ [Κρονίδας
ἔδωκε τιμάν
3 ἐν πάντεσσιν [ἀγῶσιν,
πυρσὸν ὣς Ἑλλ[ασι –⏑
φαίνων· τό γε σὸ̣ν [κλέος αἰ]νεῖ
6 καί τις ὑψαυχὴς κό⟨ρα
– – ⏑⏑ – ⏑⏑⟩ραν